4365

# ΛΟΓΟΣ ΕΠΙΤΑΦΙΟΣ

ΕΙΣ ΤΟ ΙΕΡΟΝ ΜΝΗΜΟΣΥΝΟΝ

ΤΟΥ ΑΟΙΔΙΜΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ ΚΑΙ ΟΙΚΟΝΟΜΟΥ

## ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΤΟΥ ΕΞ ΟΙΚΟΝΟΜΩΝ

Ἐκφωνηθεὶς

Ἐν τῇ Μεγάλῃ τοῦ Χριστοῦ Ἐκκλησίᾳ τῇ Κυριακῇ τοῦ Ἀντιπάσχα ιδ΄. Ἀπριλίου

Ὑπὸ

ΚΑΛΛΙΝΙΚΟΥ ΘΩΜΑΔΟΥ

Ἱεροδιακόνου καὶ Ἱεροκήρυκος ἐκ τῶν τροφίμων τῆς ἐν Χάλκῃ Θεολογικῆς Σχολῆς.



ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ,

Τύποις Α. Κορομηλᾶ καὶ Π. Πασπαλλῆ.

1857.

# ΛΟΓΟΣ ΕΠΙΤΑΦΙΟΣ

## Εἰς τὸ ἱερὸν μνημόσυνον τοῦ ἀοιδίμου Πρεσβυτέρου καὶ Οἰκονόμου Κωνσταντίνου τοῦ ἐξ Οἰκονόμων.

Μνημονεύετε τῶν ἡγουμένων ὑμῶν, οἵτινες ἐλάλησαν ὑμῖν τὸν λόγον τοῦ Θεοῦ, ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς μιμεῖσθε τὴν πίστιν (πρὸς Ἑβρ. ιγ' 7).

Ὦ πίστις! ὦ χάρις! τεσσαράκοντα παρῆλθον ἡμέραι ἀφ' ὅτου ἐν τῇ περικλεεῖ τῆς Ἑλλάδος Μητροπόλει ἠκούσθη γοερὰ οἰμωγὴ καὶ κοπετὸς ἐξεῤῥάγη μέγας, καὶ θρηνῳδία πάνδημος διέσεισε τὴν πόλιν καὶ πάντας τοὺς ἐν αὐτῇ ἀπὸ τῶν ὑπερτάτων τάξεων μέχρι καὶ τῶν κατωτάτων. Ὁ γηραιὸς καὶ πολυσέβαστος τῆς Ὀρθοδοξίας διδάσκαλος, καὶ πολυχρόνιος καὶ μεγαλοφωνότατος κήρυξ τοῦ θείου λόγου, ὁ πρεσβύτερος καὶ Οἰκονόμος Κωνσταντῖνος ὁ ἐξ Οἰκονόμων προέκειτο ἄπνους καὶ ἄλαλος, ὑποκύψας τῷ κοινῷ νόμῳ τῆς ἀνθρωπότητος. Παρῆλθον ἔκτοτε καὶ αἱ σκυθρωπαὶ ἡμέραι τῶν τοῦ Χριστοῦ παθημάτων, καὶ αἱ κοσμοχαρμόσυνοι τῆς τριημέρου αὐτοῦ ἐκ νεκρῶν ἀναστάσεως, ἤδη δὲ καὶ τὸ γλυκερὸν τῆς πίστεως ἔαρ μυρίζει καὶ καινὴ κτίσις χορεύει, ἡ κτίσις τῆς χάριτος· ἀλλ' ἡ τρικυμία τοῦ πένθους ἐκείνου, διαδιδομένη ἀπὸ πόλεως εἰς πόλιν μέχρι τῶν τερμόνων τῆς ὀρθοδοξούσης Οἰκουμένης, καταχειμάζει ἔτι τὴν καρδίαν παντὸς τοῦ χριστεπωνύμου πληρώματος, ὡς καρδίαν ἑνὸς καὶ μόνου ἀνθρώπου προσφάτως ὀρφανισθέντος· καὶ δῆμοι ὅλοι τοὺς ἑκασταχοῦ ναοὺς τοῦ Ὑψίστου πυκάζοντες ἀναπέμπουσι πρὸς Θεὸν ἐν ἱεραῖς τελεταῖς καὶ χειμάῤῥοις δακρύων ἱλαστηρίους δεήσεις ὑπὲρ τῆς αἰωνίου ἀναπαύσεως τοῦ μακαρίου πατρός.

β'. Ἀλλ' ἐπὶ πᾶσι τούτοις αὐτὴ τῶν Ὀρθοδόξων ἡ πάνσεπτος

μήτηρ, ἡ Ἁγία τοῦ Χριστοῦ Μεγάλη Ἐκκλησία, τὸ πάνδημον πένθος οἰκειουμένη, ἀναλαμβάνει σήμερον τὴν χριστιανικὴν ὀφειλὴν τῆς φιλοστοργίας, ἵνα ἐκτελέσῃ αὐτὴ τὰ τεσσαρακοστὰ τοῦ πιστοῦ καὶ προσφιλοῦς αὐτῆς υἱοῦ μετὰ πάσης τῆς Πατριαρχικῆς μεγαλοπρεπείας τε καὶ λαμπρότητος· καὶ ἰδοὺ πάλιν θρῆνος καὶ κλαυθμὸς καὶ ὀδυρμὸς πολὺς (Ματθ. β′ 18)· καὶ πάλιν ἡ νοητὴ Ῥαχὴλ κλαίουσα καὶ μὴ θέλουσα παρακληθῆναι, καὶ σὺν αὐτῇ πάντες οἱ υἱοὶ Ἰσραὴλ ὀδυνώμενοι. Ἀλλ' ἅπασαι αὗται αἱ πολυειδεῖς ἐκφράσεις τῆς παγκοίνου ὀδύνης οὐκ εἰσὶν ἆρα, ἀγαπητοὶ ἀδελφοί, αἱ αὐταὶ καὶ ἡ πρεπωδεστέρα παραμυθία τῆς Ἐκκλησίας καὶ πάσης εὐσεβοῦς καὶ φιλοθέου ψυχῆς; πόθεν ἆρά γε τοσαύτη διακαὴς συγκίνησις ἀρχόντων τε ὁμοίως καὶ ἀρχομένων, ποιμαινόντων τε καὶ ποιμαινομένων ἐπὶ τῇ πρὸς Κύριον ἐκδημίᾳ ἑνὸς ἱερέως πρεσβύτου; πόθεν ἄλλοθεν, εἰμὴ ἐκ τῆς κοινῆς ἁπάντων συνειδήσεως, ὅτι ὁ ἐξ ἡμῶν μεταστὰς ὑπῆρχεν οὐ μόνον πλήρης πίστεως καὶ σοφίας καὶ δυνάμεως ἐν λόγῳ τε καὶ ἔργῳ, ἀλλὰ καὶ ὁ ἔξοχος τῆς ὀρθοδόξου πίστεως ὑπερασπιστὴς καὶ ὑπέρμαχος; τοῦτο δὲ τί ἄλλο ἐμφαίνει εἰμὴ ὅτι διατηρεῖται χάριτι Χριστοῦ ἔτι ζῶσα καὶ θερμὴ καὶ ἀκμαία ἐν τῇ γενεᾷ ταύτῃ ἡ πίστις τοῦ Χριστοῦ, ἡ πίστις τῶν ἀρχαίων Χριστιανῶν, καὶ ὁ ζῆλος τῆς εὐσεβείας ἀπ' ἐναντίας τῶν πολλῶν κατ' αὐτῆς καὶ ποικίλων μηχανημάτων τοῦ ἄρχοντος τοῦ σκότους τοῦ αἰῶνος τούτου; καὶ τί λοιπὸν τῆς ἰδέας ταύτης παραμυθητικώτερόν τε καὶ θυμηδέστερον; Ὢ πίστις! ὢ χάρις!!

γ′. Παναγιώτατε Δέσποτα! οὐχ οὕτω κατενόησας καὶ αὐτὸς τὴν θείαν ἔμπνευσιν, ὑφ' ἧς ὁρμηθεὶς ἐβουλεύσω μετὰ τῆς περὶ Σὲ ἱερᾶς καὶ ἁγίας Συνόδου τὴν ἐκτέλεσιν τοῦ ἱεροῦ τούτου μνημοσύνου; Τιμῶν δὲ οὕτω περιφανῶς τὸν μέγαν Οἰκονόμον τῆς μεγάλης σου Ἐκκλησίας καὶ τοῦ Οἰκουμενικοῦ σου θρόνου τὸν καθολικὸν ἱεροκήρυκα, οὐχὶ προέθου ἆρά γε, ἵνα βραβεύσῃς ἐπισήμως τοὺς ὑπὲρ πίστεως πολυχρονίους κόπους τοῦ ἀκαμάτου



τῆς εὐσεβείας προμάχου, ἵνα καταστήσῃς οὕτω ζηλωτὴν τοῖς πολλοῖς τὴν εὐσέβειαν; ὦ πιστοὶ τῆς εὐσεβείας υἱοί, Χριστιανοὶ ἀδελφοί, διατί δ' ἄλλο ἐπλημμυρήσατε καὶ ὑμεῖς σήμερον τὸν εὐαγῆ τοῦτον Πατριαρχικὸν Ναόν, συῤῥεύσαντες πανταχόθεν τῆς βασιλευούσης ταύτης τῶν πόλεων, εἰμὴ ἵνα σταλάξητε δάκρυον οὐχ ἧττον κατανύξεως χριστιανικῆς, ἢ λύπης ἀπαραμυθήτου, εἰδότες ἐκεῖνον διδάσκαλον οὐ μόνον τῆς πατρῴας σοφίας, ἀλλὰ καὶ τῆς πατροπαραδότου ἡμῶν πίστεως, καὶ ποθοῦντες τὴν μεγάλην ἐκείνην φωνήν, τὴν πολλάκις καὶ πολλαχοῦ λαλήσασαν ἡμῖν τὸν λόγον τοῦ Θεοῦ; ναί, τοῦτο τῆς παρούσης συνάξεως ἡ ὑπόθεσις· οὕτως ἡ πολυδάκρυτος συμφορὰ ἀποβαίνει ἐπίσκεψις ὄντως Θεοῦ, ἐκεῖνον μὲν δοξάζουσα, ἡμᾶς δὲ παιδεύουσα· ἡ δὲ περιωδυνία τῆς τεθλιμμένης ταύτης ὁμηγύρεως καθίσταται ἄντικρυς θρίαμβος περιφανὴς τῆς Ὀρθοδόξου Πίστεως καὶ δόξα τῆς Ἐκκλησίας. Οὕτως ἐκτελοῦμεν ἅπαντες τὴν δικαίαν ἀποστολικὴν νουθεσίαν. « Μνημονεύετε τῶν ἡγουμένων ὑμῶν, οἵτινες ἐλάλησαν ὑμῖν τὸν λόγον τοῦ Θεοῦ. »

δ′. Ἀλλ' εἰς ἀπαρτισμὸν τοιούτου μεγαλοπρεποῦς μνημοσύνου ἴσως τις ὑμῶν ἀπῄτει καὶ λόγον ἐπάξιον τῆς τε ἀρετῆς τοῦ θρηνουμένου, καὶ τοῦ εὐσεβοῦς πόθου τῶν θρηνούντων. ὦ! μὴ πρὸς τῆς ὁσίας μνήμης τοῦ διὰ παντὸς σιωπήσαντος ῥήτορος, μὴ παρὰ τῆς ἐμῆς ἀναξιότητος ἀπαιτήσητε τὸν ὑπὲρ δύναμιν τοῦτον ἀγῶνα· οἰκτείρατε δὲ μᾶλλον ταπεινὸν τοῦ Εὐαγγελίου διάκονον, τρέμοντα, ὡς εἰκός, ἐπὶ τῇ συναισθήσει, ὅτι μέλλει ἐκφωνήσειν λόγον εἰς τὸ μνημόσυνον τοῦ Οἰκονόμου, ἀπὸ τοῦ ἄμβωνος ὅθεν ἐκήρυξεν ὁ Οἰκονόμος· ἀλλ' ἐπειδὴ σιγῶσι μὲν δι' ἀσθένειαν αἱ τρανόφθογγοι γλῶσσαι τῶν ἡγουμένων τοῦ λόγου, κελεύομαι δὲ αὐτὸς εἰς τὴν δυσχερῆ ταύτην διακονίαν, ἀνάσχεσθέ μου τῆς γλώσσης, παρακαλῶ, ἀδελφοί, καὶ δεῦτε συμπληρώσωμεν τὴν ἀποστολικὴν ἐντολήν, ἀναθεωροῦντες διὰ βραχέων τὴν ἐν τῷ ἐπικήρῳ τούτῳ κόσμῳ ἀναστροφὴν τοῦ ἀει-

μνήστου διδασκάλου, καὶ τὴν ἀρίζηλον καὶ ἀξιομακάριστον αὐτῆς ἔκβασιν, ἵνα λάβωμεν παραδείγματα καὶ μαθήματα πίστεως, καὶ διεγερθῶμεν εἰς τὴν τούτων μίμησιν εἰς δόξαν Θεοῦ.

ε΄. Ἡ ὀρθὴ ἔρευνα καὶ μελέτη τῆς ἐπιγείου ἀναστροφῆς τῶν μεγάλων ἀνδρῶν ἐν παντὶ ἔθνει, ἀγαπητοὶ ἀδελφοί, ἀνακαλύπτει ἀσφαλῶς εἰς τὸ ὄμμα τῆς πίστεως τὰς περὶ τοῦ ἔθνους ἐκείνου ἀνεξιχνιάστους ἄλλως βουλὰς τῆς θείας Προνοίας. Καὶ τυφλώττουσι μὲν περὶ τὰς ὑψηλὰς ταύτας θεωρίας οἱ ἄνθρωποι τῆς ὕλης καὶ τῶν αἰσθήσεων, οἱ τὰ γήϊνα φρονοῦντες καὶ πορευόμενοι ὀπίσω τῆς ματαιότητος, ἀλλ' ὁ χριστιανικὸς νοῦς καθορᾷ ἀριδήλως ἐν τοῖς μεγάλοις ἀνδράσι τὰ ἐναργῆ σημεῖα, ἐφ' ὧν ὀφείλει ἐπιστῆσαι τὴν προσοχὴν αὐτοῦ ὁ μύστης τῆς ἱστορικῆς θεοπτείας· αὐτοὶ δὲ οὗτοι οἱ ἄνδρες τοσοῦτον μείζονες ἀποβαίνουσιν, ὅσῳ μᾶλλον, κατανοήσαντες τὴν κλῆσιν αὐτῶν καὶ τὴν ἄνωθεν εἰς τὸν κόσμον ἀποστολήν, βαίνουσι πιστῶς καὶ ἀπαρεγκλίτως τὴν θεόθεν χαραχθεῖσαν αὐτοῖς ὁδὸν, ἀναστρεφόμενοι μεταξὺ τῶν ἀνθρώπων τῆς γῆς, ὡς οἱ ἄνθρωποι τοῦ Θεοῦ, ὑπὸ Θεοῦ ὁδηγούμενοι καὶ πρὸς Θεὸν ὁδηγοῦντες. Τοιαύτην ἔχων τὴν κλῆσιν, ἀγαπητοί, ὁ ἱερὸς τῆς Ἐκκλησίας πρεσβύτερος Κωνσταντῖνος ὁ Οἰκονόμος, προωρισμένος θεόθεν ἵνα ἐν καιροῖς χαλεποῖς στηρίξῃ ἐῤῥωμένως τοὺς ἀσθενοῦντας τῇ πίστει ἐν τῷ γένει τῶν ὀρθοδόξων διὰ τῆς γλώσσης καὶ τοῦ καλάμου, πιστῶς ἀλλὰ καὶ λαμπρῶς διήνυσε τὸ στάδιον τῆς ἀποστολῆς αὐτοῦ ἐκ νεαρᾶς ἡλικίας μέχρι τελευταίας ἀναπνοῆς, καὶ ἀνεφάνη ἄρα αὐτόχρημα πιστὸς καὶ φρόνιμος Οἰκονόμος τῶν χαρισμάτων τοῦ Πνεύματος, περὶ οὗ ἔλεγεν ὁ Χριστὸς ἐν Εὐαγγελίοις. «Τίς ἆρά ἐστιν ὁ πιστὸς οἰκονόμος καὶ φρόνιμος, ὃν καταστήσει Κύριος ἐπὶ τῆς θεραπείας αὐτοῦ τοῦ διδόναι ἐν καιρῷ τὸ σιτομέτριον (Λουκ. ιβ'. 42); Καὶ γεννᾶται μὲν ὑπὸ τῆς αὐτῆς Προνοίας ἐκ πατρὸς Οἰκονόμου καὶ τούτου ἐξ Οἰκονόμων, γενεᾶς εὐσεβοῦς καὶ Πατριαρχικῆς, γενεᾶς ζητούντων τὸν Κύριον, ζητούντων

SISMANOGLIO MEGARO



τὸ πρόσωπον τοῦ Θεοῦ Ἰακὼβ (Ψαλμ. κγ' 6), ἀνατρέφεται δὲ ὑπὸ τῶν γονέων ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου (Β. Τιμόθ. Γ' 15), παιδευόμενος ἐν τοῖς κόλποις αὐτῶν ἐξ ἁπαλῶν ὀνύχων τὰ ἱερὰ γράμματα, τὰ μόνα δυνάμενα σοφίσαι εἰς σωτηρίαν, καὶ πληρούμενος σοφίας τῆς τε θύραθεν, τῆς Ἑλληνικῆς, καὶ τῆς ἔσωθεν, τῆς τοῦ Πνεύματος. Φαντάσθητε, ἀγαπητοί, τὸν μεγαλοφυᾶ ἱερόπαιδα φωστῆρα φαεινὸν ἐν τῇ ἀνατολῇ αὐτοῦ, ἀπαστράπτοντα ἐν ἑαυτῷ τὰς ψυχοσώους λαμπηδόνας τῶν τοῦ Θεοῦ χαρισμάτων, προγυμναζόμενον ὑπὸ τῷ πατρὶ τὴν διακονίαν τοῦ Εὐαγγελικοῦ κηρύγματος, ὀργῶντα πρὸς τὴν ἐκπλήρωσιν τῶν ὑπὲρ τοῦ Γένους ἡμῶν καὶ τῆς Ἐκκλησίας μεγάλων βουλῶν τοῦ Θεοῦ, καὶ προμηνύοντα ἡμέραν δόξης καὶ ἡμέραν σωτηρίας. «Ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδὸν αὐτοῦ (Ψαλμ. ΙΗ' 6).

ϛ΄. Τίς οὐκ ἔβλεπε τότε ἐν τῇ παιδικῇ ἀναστροφῇ, ἐν τῇ φιλοπονίᾳ, ἐν τοῖς διανοητικοῖς προγυμνάσμασιν, ἀλλὰ καὶ ἐν τῇ ζωηρᾷ φυσιογνωμίᾳ καὶ τῇ διατόρῳ φωνῇ τοῦ παιδὸς Κωνσταντίνου, τὸ παιδάριον Σαμουὴλ, τὸν θεράποντα Κυρίου, ἐν αὐλαῖς Κυρίου, τὸν μεγάλα φωνήσοντα καὶ μεγάλα κατορθώσοντα διδάσκαλον καὶ οἰκονόμον τῆς Πίστεως, ταμιεύοντα ἐν ἑαυτῷ μετὰ τῶν χρηστοτάτων ἐλπίδων τὰς λαμπροτέρας εὐλογίας τῶν ἐπερχομένων γενεῶν; ὄντως, ἀγαπητοί· «Γενεὰ εὐθέων εὐλογηθήσεται» (Ψαλμ. ριά. 2). Φθάσας δὲ καὶ σωματικῶς καὶ πολλῷ μᾶλλον πνευματικῶς εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, κατόπιν νομίμου καὶ ἐντίμου συζεύξεως καλεῖται ἀξίως εἰς τὴν ἱερωσύνην καὶ προχειρίζεται μετ' οὐ πολὺ Οἰκονόμος τῆς πατρίου Ἐκκλησίας, διαδεξάμενος τὸν πατέρα πρὸς Κύριον ἐκδημήσαντα. Καὶ λαμβάνει λοιπὸν καὶ ἐκκλησιαστικῶς τὸ ὄνομα τοῦ ἀξιώματος, ὃ προλαβοῦσα ἐπέγραψεν ἐπὶ τοῦ μετώπου αὐτοῦ ἡ ἀποστείλασα αὐτὸν πρόνοια τοῦ Θεοῦ· καὶ ἰδοὺ ὁ τοῦ Θεοῦ Οἰκονόμος ἐπὶ ταῖς θεραπείαις αὐτοῦ, διανέμων πλουσίως τὸ σιτομέτριον, καὶ παύων

τὸ ἐπ' αὐτῷ οὐ λιμὸν ἄρτου, οὐδὲ λιμὸν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου ('Αμὼς Η' 11)· καὶ ἡ οἰκονομία αὕτη καθίσταται ὑπὸ τοῦ Θεοῦ ἐν καιρῷ, καὶ καιρῷ εὐθέτῳ ἐπιζητοῦντι τὸν χρήσιμον « ἐξουσία γῆς ἐν χειρὶ Θεοῦ καὶ τὸν χρήσιμον ἐγερεῖ εἰς καιρὸν ἐπ' αὐτῆς» (Σειρ. ί. 4). Ὅτε περὶ τὰς ἀρχὰς τῆς παρούσης ἑκατονταετηρίδος ἐσπένδετο πρὸς τὴν ἐντεῦθεν ἐκδημίαν Εὐγένιος ἐκεῖνος ὁ Βούλγαρις, ἀρχέπλουτος καὶ γνήσιος κληρονόμος τοῦ διανοητικοῦ καὶ πνευματικοῦ πλούτου τῶν μεγάλων προγόνων καὶ τῶν μεγάλων Πατέρων ἡμῶν, καὶ μετὰ Μηνιάτην καὶ Θεοτόκην, τὸν μὲν πρὸ πολλοῦ, τὸν δὲ ἀρτίως ἐκδημήσαντα, ἐναπολειφθεὶς προφήτης μονώτατος, περιεσκοπεῖτο ἐκ τῆς ὑπερβορείου αὐτοῦ ἐσχατιᾶς, τίνα ἐκ τῶν υἱῶν τῶν προφητῶν καταλείψει ἀνθ' ἑαυτοῦ εἰς προστασίαν τοῦ λαοῦ τοῦ Θεοῦ, τότε φωνὴ λιγυρὰ καὶ τηλεφανὴς ἐκ μικρᾶς τινὸς κώμης τῆς Θεσσαλίας, ἡ φωνὴ τοῦ καλλικελάδου πρεσβυτέρου τῆς Τσαριτσάνης ταυτοχρόως ἠκούετο, οἷον ἀναβοῶσα « Πάτερ, Πάτερ, ἅρμα Ἰσραὴλ καὶ ἱππεὺς αὐτοῦ (Δ' Βασιλ. β' 12)· καὶ ὁ μὲν ἀνελαμβάνετο, ὁ δ' ἀνίστατο μέγας καὶ ἀντεισήγετο εἰς τὸ σωτήριον στάδιον, Ἐλισσαῖος ἐκείνου, φέρων τὴν τερατουργὸν μηλωτὴν καὶ τὸ Πνεῦμα ἐκείνου δισσῶς καὶ τὴν χάριν διπλῆν. Ἄγε τοίνυν, ἱερεῦ τοῦ Θεοῦ καὶ θεόχριστε Οἰκονόμε, ἐπιλαβοῦ εὐθαρσῶς τῆς θεραπείας τοῦ οἴκου Κυρίου, καὶ κίνει καὶ γλῶσσαν καὶ χεῖρας καὶ πόδας, πρὸ δὲ πάντων τὰς ἀκινήτους χορδὰς τῶν πεπνυμένων φρενῶν, εὐαγγελιζόμενος πανταχοῦ τὸν λόγον τῆς ζωῆς καὶ πολλαπλασιάζων τὰ δοθέντα σοι τάλαντα. Ποικίλη τις ἐστὶν, ἀδελφοί, καὶ πολυειδὴς ἡ χάρις ἡ ἐμπεπιστευμένη τοῖς οἰκονόμοις τῆς χάριτος, κατὰ τὴν μαρτυρίαν τοῦ Ἀποστόλου· « ἕκαστος καθὼς ἔλαβε χάρισμα εἰς ἑαυτοὺς διακονοῦντες ὡς καλοὶ οἰκονόμοι ποικίλης χάριτος Θεοῦ » (Α. Πέτ. δ' 10). Τὴν ποικιλίαν ταύτην θεάσασθε ἐν τῇ ἀναστροφῇ τοῦ ἡμετέρου Οἰκονόμου· διέλθετε μετ' αὐ-



τοῦ καὶ πόλεις, καὶ χώρας, καὶ βασίλεια, παρακολουθοῦντες τὴν εὐρεῖαν καὶ μεγάλην τροχιὰν τοῦ περιφανοῦς τούτου φωστῆρος. Θεσσαλία καὶ Μακεδονία καὶ Ἰωνία καὶ Θρᾴκη, καὶ πόλεις αὐτόθι ἀκμάζουσαι καὶ εὐδαίμονες, Θεσσαλονίκη καὶ Σμύρνη καὶ Κυδωνίαι, καὶ ἡ πρεσβυγενὴς τῆς Ὀρθοδοξίας Μητρόπολις, ἡ πόλις αὕτη τοῦ Κωνσταντίνου, καὶ ἡ μεγάλη Ῥωσσικὴ χώρα ἀπὸ Ὀδησσοῦ μέχρι Πετρουπόλεως, καὶ τῆς ἑσπερίας λήξεως τὰ πολλὰ, καὶ ἰδίως τὰ πολυσπερῆ φῦλα τῶν Γερμανῶν καὶ τὰ κάλλιστα καὶ μέγιστα τῶν παρ' αὐτοῖς ἀστέων, Βερολῖνον καὶ Βιέννα καὶ Μόναχον, καὶ πᾶν τὸ ἐν αὐτοῖς λογιώτατον, καὶ ἡ γηραιὰ Ἰταλία, καὶ αἱ ἐπ' αὐτῆς ἐπικράτειαι καὶ πόλεις, ἡ Ῥώμη αὐτὴ, καὶ τῶν ἐν αὐτῇ ἐκκλησιαστικῶν ἡγεμόνων τὸ ἄωτον, τελευταῖον τὸ νεοπαγὲς καὶ ὀρθόδοξον τῆς Ἑλλάδος Βασίλειον, καὶ ἡ πάλαι καὶ νῦν περίδοξος πόλις τῶν Ἀθηνῶν, ὑπάρχουσιν ἔκθαμβοι μάρτυρες καὶ τοῦ μεγάλου πλούτου τῶν χαρισμάτων τοῦ σοφοῦ Οἰκονόμου, ὧν ὑπῆρξε θησαυρὸς ἀνεξάντλητος, καὶ τῆς σοφῆς διαχειρίσεως, μεθ' ἧς αὐτὰ ᾠκονόμησεν ἐπ' ὠφελείᾳ τοῦ πλησίον. « Τὴν σοφίαν αὐτοῦ διηγήσονται ἔθνη, καὶ τὸν ἔπαινον αὐτοῦ ἐξαγγελεῖ ἡ ἐκκλησία (Σειρ. ιθ' 13).

ζ'. Εἰς τὴν ἱστορίαν τῶν γραμμάτων, ἧς πολλὰς καὶ καλὰς σελίδας μέλλουσι καλλύνειν αἱ περὶ Οἰκονόμου διατριβαί, ἀπόκειται τὸ καταριθμῆσαι, ἀναλῦσαι, ἐπικρῖναι καὶ ἐκτιμῆσαι τὰ πολυειδῆ καὶ πολυάριθμα τῆς οἰκονομείου φρενὸς καὶ χειρὸς ἀριστουργήματα· καὶ εἰς τοὺς σοφοὺς πάντων τῶν ἐθνῶν καὶ τῶν αἰώνων τὸ θαυμάσαι ἀποχρώντως τὸν ἔξοχον Ἑλληνιστὴν, τὸν εὔγλωττον ῥήτορα, τὸν ἠθικὸν φιλόσοφον, τὸν βαθύνουν κριτικὸν, τὸν πολυμαθῆ φιλολόγον, τὸν ἀγχινούστατον καὶ πολυειδῆ ποιητὴν, τὸν πολύγλωττον γλωσσολόγον, τὸν ἄριστον καὶ ἔξοχον συγγραφέα, τὸν εὐφυῆ καὶ χαριέστατον ἐπιστολογράφον, τὸν δι' ἁπάσης ἰδέας λόγου ἐλθόντα καὶ θαυμασίως ἐν πᾶσιν εὐδοκιμήσαντα, καὶ τὰ καλλιστεῖα πάντων ἀπενεγκάμενον. «Τὴν σοφίαν αὐτοῦ διηγήσονται ἔθνη ».

η. Εἰς δὲ τὰς ἀδαμαντίνας καὶ εἰς αἰῶνας ἀκαταλύτους στήλας τῆς ἐκκλησιαστικῆς ἱστορίας ἀπόκειται ἡ ἐκτίμησις τῆς αἰωνίου ἀξίας καὶ ὑπεροχῆς τοῦ μεγάλου λειτουργοῦ τοῦ Ὑψίστου· ἐκείνη μόνη ἀξίως καταγράψαι δυνήσεται τὸν προσήκοντα τῷ ἀνδρὶ ἔπαινον, ἀντιγράψασα αὐτὸν ἐκ τῆς παγκοίνου συνειδήσεως τοῦ ὅλου ὀρθοδόξου πληρώματος, συνειδήσεως, ἥτις τό γε νῦν ἔχον διὰ μόνων δακρύων καὶ στεναγμάτων ἐκφράζεται. « Καὶ τὸν ἔπαινον αὐτοῦ ἐξαγγελεῖ ἡ ἐκκλησία· » Καὶ τὸ μνημόσυνον αὐτοῦ εἰς γενεὰν γενεῶν » (Ψαλμ. ρά 13). Πολλοὺς αἰῶνας ἔτι οἱ ἄμβωνες τῶν ἐκκλησιῶν, ἀφ' ὧν πολλὰς ἐτῶν περιόδους ἤστραπτε καὶ ἐβρόντα νευρώδης καὶ χρυσοστομικὴ εὐγλωττία, ἀντηχήσουσι τὰς θείας φωνὰς καὶ τὰ ἅγια ῥήματα τοῦ πανευκλεοῦς καὶ πολυκρότου τῆς Ὀρθοδοξίας ἱεροκήρυκος, καὶ τὰ εὐσεβῆ ἀκροατήρια ἐφ' ἑκάστου κηρύγματος τοῦ θείου λόγου μέλλουσιν ἰνδάλλεσθαι ἐπὶ τοῦ βήματος τῆς θείας διδασκαλίας τὸ σεβάσμιον σχῆμα καὶ τὴν εὐρήμονα λαλιὰν τοῦ Οἰκονόμου μετὰ τῆς τῶν ἄλλων ἱερῶν διδασκάλων τῆς Ἐκκλησίας· πολλοὺς αἰῶνας μέλλουσι μελετᾷν καὶ θαυμάζειν οἱ θεολόγοι τὸν θεηγόρον, οἱ ἱεροὶ ἑρμηνευταὶ τὸν ἑρμηνευτήν, οἱ πατρολόγοι τὸν τῶν θείων πατέρων ἀκριβαστὴν καὶ τοῦ ἱεροῦ αὐτῶν κύρους τὸν ἔκδικον, οἱ κατηχηταὶ τὴν στάθμην τῆς ἀκριβείας, οἱ τὰς θρησκευτικὰς ἀντιρρήσεις συγγράφοντες τὸν ἀντιρρητικὸν θεολόγον, οἱ περὶ τοὺς ἱεροὺς κανόνας ἐσχολακότες τὸν ἐπιστημονάρχην τοῦ θείου δικαίου, καὶ διὰ παντὸς ἐπιποθήσουσιν οἱ λαοὶ τὸν διδάσκαλον τῆς Πίσεως, οἱ ποιμένες τὸν ὁδηγόν, οἱ πάσης ἐπισασίας προϊστάμενοι τὸν ἀγαθὸν σύμβουλον, οἱ ἐν παντοίαις περιστάσεσι τὸν σοφὸν καὶ φρόνιμον οἰκονόμον· καὶ τί ἔτι λέγω; ἡ ἱερὰ φιλολογία τὸν ἔξοχον καὶ μελίρρυτον συγγραφέα, ἡ τοῦ Γένους ὁλκὰς τὸ πηδάλιον, ὁ κύκλος τῶν λογίων τὸ κέντρον, αἱ ἐκκλησίαι τὸν συνοχέα τοῦ συνδέσμου τῆς ἀδελφικῆς ἑνότητος.

θ'. Ἀλλ', ἀδελφοί μου ἀγαπητοί, εἰς τί ἄρα ὀφείλει τοὺς ἀριζήλους τούτους τίτλους ὁ ἀξιομακάριστος ἱερεύς; εἰς τί δὲ καὶ ἡμεῖς τὴν μεγάλην παρ' αὐτοῦ ὄνησιν; ἀναντιρρήτως εἰς τὴν Πίστιν. Ἡ Πίστις, ἧς τὸν οὐράνιον σπόρον ἐγκαίρως ἐνεφύτευσεν εἰς τὴν καρδίαν αὐτοῦ ἀνατροφὴ σπουδαία καὶ χριστιανική· αὐτὴ διαμένουσα ἐν αὐτῷ ζῶσα καὶ ἐνεργὸς διὰ βίου, καὶ συνημμένη μετὰ τῆς ἀχωρίστου ἀγάπης καὶ τῆς εἰς Θεὸν ἐλπίδος, ἐνεύρου καὶ ἐζωογόνει καὶ παρώτρυνε καὶ ἤλειφεν εἰς τοὺς ὑπὲρ τῆς Ἐκκλησίας ἀγῶνας τὸν τῆς Πίστεως ἀθλητήν, καὶ ἀπέδειξεν αὐτὸν μέχρι τέλους ἐργάτην ἀνεπαίσχυντον, ὀρθοτομήσαντα τὸν λόγον τῆς ἀληθείας. Ἀλλὰ τὸ μέγιστον ἔργον τῆς τοῦ διδασκάλου Πίστεως καὶ τῆς εἰς τὴν Ἐκκλησίαν ἀφοσιώσεως ὁ λόγος οὔπω ἐξέθετο. Πολλοὺς ἔλαβεν, ἀγαπητοί, καὶ ἐξόχους διδασκάλους καὶ συγγραφεῖς ἡ Ὀρθόδοξος Ἀνατολικὴ Ἐκκλησία ἐν τοῖς νεωτέροις χρόνοις ἐφαμίλλους τῶν ἀρχαίων, ἐπίσης τὰ θεῖα σοφούς, ἐπίσης ζηλωτὰς τῶν πατρικῶν παραδόσεων· ἀλλ' οὐδεὶς αὐτῶν εὑρέθη ἐν κρισιμωτέροις καιροῖς, οὐδ' ἠγωνίσθη μετὰ πλείονος περινοίας καὶ δραστικότητος, οὐδ' ἐξυπηρέτησε τῇ Ἐκκλησίᾳ τηλικαύτας καὶ τοσαύτας ὑπηρεσίας· οὐδέποτε ἡ λαῖλαψ τῶν νεωτερικῶν ἐπιθυμιῶν, αἱ καταιγίδες τῆς οἰήσεως καὶ δοκησισοφίας καὶ ὁ θανατηφόρος λίψ τῆς θρησκευτικῆς ἀκηδίας καὶ ἀδιαφορίας ἠπείλησε καταστρεπτικώτερον κλονισμὸν τῶν ψυχῶν καὶ ἐρείπωσιν τῆς οἰκοδομῆς τοῦ σώματος τοῦ Χριστοῦ, ἢ ὅσον ἐν τοῖς ἐσχάτοις τούτοις καιροῖς· ἡ τῆς φαυλότητος βασκανία ἐπροπετεύετο ἀμαυροῦν τὰ παρ' ἡμῖν καλά, καὶ ὁ ῥεμβασμὸς τῆς ἐπιθυμίας ἐπειρᾶτο μεταλλεύειν τὸν ἄκακον νοῦν τῶν νηπίων τῆς Πίστεως, ἐπάγων παράλυσιν ἠθῶν, ῥῆξιν τῆς ἀδελφικῆς ἐν Χριστῷ ἑνότητος καὶ κατατομὰς ἀξιοδακρύτους τοῦ τῆς Ἐκκλησίας σώματος. Τί δὲ ὁ Οἰκονόμος; ἐφίσταται ἐν καιρῷ, φαίνεται ὑψηλὸς καὶ λαμπρὸς ἐπὶ τῶν ἐπάλξεων τῆς στρατευομένης Ἐκκλησίας, ῥήγνυσιν ἀπὸ τοῦ μεγάλου αὐτοῦ στήθους τὴν ἐξάκουστον τοῖς πᾶσι φωνὴν αὐτοῦ, καὶ, ὡς ὁ Ἀρχιστράτηγος Μιχαὴλ « στῶμεν καλῶς » ἀνα-

κράζει· στῶμεν, ἀδελφοί, μετὰ φόβου ἐστηριγμένοι ἐπὶ τῆς πέτρας τῆς Πίστεως τῶν Πατέρων ἡμῶν· οὐδόλως δὲ ἀποναρκήσας, οὐδὲ νυστάξας, οὐδὲ τὴν ἀκάματον χεῖρα γράφουσαν ἀναπαύσας, οὐδὲ τὴν ἀσίγητον γλῶσσαν κατασιγάσας, ἀλλὰ κράζων ἀεὶ μετὰ τοῦ Δαβίδ. « Διὰ Σιὼν οὐ σιωπήσομαι καὶ διὰ Ἱερουσαλὴμ οὐκ ἀνήσω, » (Ψαλμ. ξϐ' 1) μετὰ καρτερικὴν καὶ ἀτρόμητον, ἀλλὰ καὶ στρατηγικὴν ἀντίστασιν, ἐπιῤῥώννυσι μὲν εἰς τὸ πάτριον καὶ ἦθος καὶ φρόνημα πᾶν τὸ ὁμογενὲς καὶ ὁμόδοξον, ἐμφράττει δὲ διὰ τοῦ στήθους αὐτοῦ τοὺς πανταχόθεν πλημμυροῦντας χειμάῤῥους τῆς ἀνομίας, καὶ καθιστᾷ σεβαστὴν εἰς πάντας τὴν οἰκουμενικὴν τῆς Ὀρθοδοξίας ἀλήθειαν, τὸν δὲ ἀκατάπληκτον αὐτοῦ χαρακτῆρα καὶ αὐτοῖς τοῖς ἐχθροῖς ἀξιάγαστον. Μεγάλα ἀληθῶς, μεγάλα τὰ τῆς Πίστεως κατορθώματα· ἀλλ' ὅταν καὶ μεγάλα μετ' αὐτῆς ἐπισυναφθῶσι παθήματα, ὁποῖα συνήθως περιμένουσι τοὺς στρατιώτας τοῦ ἐσφαγμένου ἀρνίου, τότε ὁ στέφανος τῆς δικαιοσύνης τοσοῦτον ὑπάρχει ἀπαράμιλλος, ὅσον βέβαιος καὶ ἀδιαφιλονείκητος. « Σὺ οὖν, λέγει ὁ Ἀπόστολος, κακοπάθησον ὡς καλὸς στρατιώτης Ἰησοῦ Χριστοῦ » ( Β. Τιμοθ. Β' 3 ). Διότι » Ἐὰν καὶ ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ » (Β. Τιμόθ. ϐ' 7). Ἐπιλείψει με ὁ χρόνος διηγούμενον τὰς ἠθικὰς καταθλίψεις, καὶ τοὺς πραγματικοὺς κινδύνους καὶ διωγμούς, ὅσους ἐν γῇ καὶ θαλάσσῃ, ἐν οἰκείοις καὶ ξένοις, καὶ ἐν ἐλεεινοῖς διὰ τὴν ἰταμότητα ψευδαδέλφοις ὑπέστη κατὰ καιροὺς ὁ μάρτυς οὗτος τῇ προαιρέσει, παθήματα, ἅτινα ἀγογγύστως τε καὶ καρτεροψύχως ὑπήνεγκεν ἐν τῇ εὐρυχώρῳ καὶ ἀτρομήτῳ αὐτοῦ καρδίᾳ, καὶ ἐξ ὧν ἐῤῥύετο αὐτὸν ἑκάστοτε ἡ ἀοράτως διευθύνουσα αὐτὸν δεξιὰ τοῦ Ὑψίστου. Τοιαύτη ὑπῆρξεν, ἀγαπητοί, ἡ ἐπίγειος ἀναστροφὴ τοῦ σήμερον θρηνουμένου διδασκάλου ἡμῶν, ἐξ ἀπόπτου θεωρουμένη, καὶ οἷον ἀμυδρῶς καὶ ἐπιπολαίως, καθ' ὅσον τὸ στενὸν τοῦ καιροῦ καὶ ἡ ἀσθένεια τοῦ λέγοντος ἐπιτρέπει· ἀναθεωρήσωμεν δὲ καὶ τὴν

SISMANOGLIO MEGARO



μακαριστὴν αὐτῆς ἔκβασιν πρὸς μείζονα τοῦ λόγου καρποφορίαν, κατὰ τὴν Ἀποστολικὴν ἐντολήν, « ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς μιμεῖσθε τὴν Πίστιν ».

ί. Τοὺς δοξάζοντάς με δοξάσω (Α' Βασιλ. ϐ' 32). Ἔχει μὲν ἡ τῶν ἀρετῶν κατόρθωσις ἐν αὐτῇ αὐτῶν τῇ ἐργασίᾳ ἀναλόγους τὰς ἀμοιβάς, οἷον τὴν ἀγαθήν, φέρε, συμμαρτυρίαν τῆς συνειδήσεως, ἀλλὰ καὶ ἡ χάρις τοῦ Θεοῦ προάγουσα καὶ ἀκολουθοῦσα τὸν ἐργάτην τοῦ ἀγαθοῦ ἐπιβραβεύει ἀφθόνους τὰς δωρεάς, προπαρασκευάζουσα κατὰ λόγον προγνώσεως καὶ προορισμοῦ τὸν ἐκλεκτὸν αὐτῆς, συνεργοῦσα αὐτῷ, καὶ τέλος δικαιοῦσα αὐτὸν καὶ δοξάζουσα. Ὢ πόσας καὶ ποίας πλουσίας δωρεὰς σωματικάς τε καὶ πνευματικὰς προεξέχεεν ἀφθόνως ἡ θεία χάρις εἰς τὸ σκεῦος ἐκεῖνο τῆς ἐκλογῆς, τὸν θαυμάσιον Οἰκονόμον, οἷον ἀῤῥαβῶνά τινα τῶν ἐς ἔπειτα ἀποκειμένων στεφάνων! Τὸ γενέσθαι καλῶς καὶ τραφῆναι καλῶς ὑπάρχει ἀναντιῤῥήτως τὸ πρώτιστον καὶ κράτιστον τῶν οὐκ ἐφ' ἡμῖν ἀγαθῶν, καὶ τούτων ἠξιώθη θεόθεν, ὡς εἴρηται, ὁ κατὰ τὴν χριστιανικὴν ἔννοιαν ἀληθῶς εὐγενὴς ἱερεὺς Κωνσταντῖνος. Κάλλος σώματος καὶ ῥώμη πρὸς τοὺς πόνους ἀνθεκτική, καὶ ὑγιεία ἀπερίτρεπτος, καὶ ἡ ἐνεργὸς δύναμις τῶν αἰσθητηρίων, καὶ τὰ λοιπὰ τοῦ σώματος ἀγαθά, πολὺ δὲ πλέον τὰ τῆς ψυχῆς, οἷον, μνήμη καὶ κρίσις καὶ φαντασία καὶ λοιπαὶ δυνάμεις τοῦ πνεύματος, ἐδαψιλεύθησαν εἰς αὐτὸν πλουσιοπαρόχως ἐπ' ἀγαθῷ τῶν πολλῶν ὑπὸ τῆς προνοίας τῆς πόῤῥωθεν προκαταβαλούσης τῶν μεγάλων πραγμάτων τὰς ἀφορμάς. Καθ' ὅσον δ' οὗτος μετεχειρίζετο ταῦτα πρὸς τὸν σκοπὸν τῆς θείας αὐτοῦ ἀποστολῆς, κατὰ τοσοῦτον ἐπεχορηγοῦντο αὐτῷ ἱκανότητες τελειότεραι. Ἡ αὐτὴ χάρις προσήγετο αὐτῷ τοὺς ἀρίστους καὶ πιστοτάτους τῶν φίλων. Διότι καὶ τίς παρὰ τὸν Οἰκονόμον φίλτερος εἰς τοὺς ἀγαθοὺς ἀνθρώπους; τίς παρὰ τὸν Οἰκονόμον περὶ τὰ τῆς φιλίας καθήκοντα ἀκριβέστερος; τίς ἐν ταῖς συναναστροφαῖς χαριέστερος καὶ διδακτικώτερος; τίς ἐν ταῖς τοῦ πλησίον ἀνάγ-

καις προθυμότερος καὶ φιλανθρωπότερος, καὶ συνεργὸς ἢ σύμβουλος συνετώτερος καὶ πολυπειρότερος; διὸ καὶ τοσαύτην ἐπεσπάσατο τὴν ἀγάπην ἁπάντων διὰ τὴν πρὸς πάντας ἀγάπην, ὅσον καὶ τὸν θαυμασμὸν διὰ τὴν σοφίαν, καὶ τὸ σέβας διὰ τὴν ἀρετήν. εἰ δέ τις ὄνησις καὶ παρὰ τῶν ἐγκοσμίων τιμῶν εἰς προσθήκην δόξης ἀνθρώπου θνητοῦ, καὶ ταύτας ἡ βραβεύουσα χάρις ἐκ περιουσίας εἰς τὸν εὐκλεᾶ Οἰκονόμον προεμνηστεύσατο· Βασιλεῖς καὶ Βασίλισσαι, δυνάςαι καὶ κραταιοὶ τῆς γῆς, καὶ συστήματα σοφῶν, καὶ Ἀκαδημίαι, καὶ Πανεπιστήμια τὴν τοῦ ἀνδρὸς ἀξίαν περιφανῶς ἐτίμησαν, οἷον ἀνθαμιλλώμενοι τὶς περὶ τὰς ἐνδείξεις τῆς πρὸς αὐτὸν ὑπολήψεως φανῇ τοῦ ἄλλου φιλοτιμότερος. Ἐντεῦθεν ταξιαρχίαι καὶ παράσημα καὶ δῶρα τιμαλφῆ καὶ στολαὶ χρυσόπαστοι καὶ διπλώματα βασιλικὰ καὶ ἐπιστημονικὰ, τοσαῦτα δόξης ἐγκοσμίου ἐρείπια, σεσωρευμένα σήμερον περὶ τὸ χεῖλος τοῦ τάφου, ἐξελέγχοντα τοῦ κόσμου καὶ τοῦ βίου τὴν ματαιότητα. Ἀλλ' ἔμελλέ ποτε νὰ μένῃ κατόπιν τῶν ἐξωτερικῶν βραβευτῶν καὶ ἡ κοινὴ τῶν Χριστιανῶν μήτηρ ἡ Μεγάλη τοῦ Χριστοῦ Ἐκκλησία; Οὐδαμῶς! Ἀλλ' αὐτὴ πρώτη τιμήσασα τὸν υἱὸν αὐτῆς, ἀπένειμεν αὐτῷ τὰ μέγιστα τῶν εἰς πρεσβύτερον ἡκόντων ἀξιωμάτων, ἐπίτιμον αὐτῆς μέγαν Οἰκονόμον ἀναγορεύσασα καὶ καθολικὸν τῆς Ὀρθοδοξίας ἱεροκήρυκα καὶ ἔξαρχον Πατριαρχικόν (α). Ἐπὶ τούτοις ἡ μυριόγλωσ-

(α) Ἰδοὺ τὸ Πατριαρχικὸν καὶ συνοδικὸν δίπλωμα, δι' οὗ τῶν μνησθέντων ἐκκλησιαςικῶν ἀξιωμάτων τὰ μὲν ἀνανεοῦνται, τὰ δ' ἐπιβραβεύονται τῷ ἀοιδίμῳ διδασκάλῳ· ἐξεδόθη δὲ ἐπὶ τῆς Πατριαρχείας τοῦ σοφοῦ Κωνσταντίου τοῦ ἀπὸ Σιναίου.

ΚΩΝΣΤΑΝΤΙΟΣ ΕΛΕΩ ΘΕΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΝΕΑΣ ΡΩΜΗΣ

ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΣ ΠΑΤΡΙΑΡΧΗΣ.

» Τοὺς εὐσεβείᾳ κατηγλαϊσμένους καὶ ζῆλον ὑπὲρ αὐτῆς ἔνθερμον διατρέφοντας, βίου τε ἀρετῇ καὶ θείων λόγων διδασκαλίᾳ ὠφελίμους τῷ χριστωνύμῳ πληρώματι καθισταμένους γεραίρειν οἶδε προσφυῶς τὸ περιούσιον ὕψος τῆς Ἐκκλησίας, καὶ τιμαῖς ὀφφικίων καὶ προνομίων τὴν πρὸς αὐτοὺς εὔνοιαν καὶ δικαίαν ὑπόληψιν ἐπιδείκνυσθαι, ταῖς τῶν φιλοθέων αὐτῶν ἀρετῶν ἀμοιβαῖς φιλοτιμοτέρους αὐτοὺς ἀπεργαζομένη· « μισθὸς γάρ φησιν ἀρετῆς ἔπαινος, καὶ τιμὴ καὶ δόξα παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθόν». Ἐπειδὴ τοιγαροῦν καὶ ὁ Σοφολογιώτατος ἐν ἱεροδιδασκάλοις καὶ Πρεσβύτερος Κύριος Κωνςαντῖνος Οἰκονόμος, ἀνὴρ τὰ μὲν ἄλλα σοφὸς, καὶ παιδείας ἐκκλησιαςικῆς καὶ τῆς θύραθεν ἐς ἄκρον ἐληλακὼς, ζήλῳ δὲ ὑπὲρ τῆς εὐσεβείας, εἴπερ τις ἄλλος, προέχων, ὡς τῆς Ὀρθοδόξου ἡμῶν πίςεως προασπιστὴς, πρὸ χρόνου ἐπὶ τοῦ ἀοιδίμου προκατόχου ἡμῶν Κυρίου Γρηγορίου, δι' οὓς ἐν ἄκρᾳ φιλογενείᾳ καὶ φιλοτιμίᾳ ψυχῆς ἀνέτλη θεοφιλεῖς ἀγῶνας ἐπὶ τῆς ἀξιοπρεποῦς αὐτοῦ σχολαρχίας ἐν τῇ κατὰ τὴν Σμύρνην διασήμῳ ἐκείνῃ σχολῇ, ἀφ' ἧς ὡς ἀπὸ φωτὸς ἀρχεγόνου εἰς ἅπαν τὸ Γένος ὁ τῆς ἀληθοῦς καὶ ὑγιοῦς παιδείας μετωχετεύθη φωτισμὸς, προαχθεὶς εἰς τὸ ὀφφίκιον τοῦ Μεγάλου Οἰκονόμου τοῦ Ἁγιωτάτου Πατριαρχικοῦ Οἰκουμενικοῦ Θρόνου, καὶ παρὰ ταῦτα Γενικὸς Ἱεροκήρυξ τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας καὶ ἁπασῶν τῶν ὀρθοδόξων ἐκκλησιῶν ἀναδειχθεὶς διὰ τὴν ἔξοχον αὐτοῦ περὶ λόγοις ῥητορικὴν ἱκανότητα, καὶ μελίρρυτον χάριν. Ἐπειδὴ, φαμὲν, ἡ αὐτοῦ Σοφολογιότης, κατὰ τὸν ἐν εὐαγγελίοις πιςὸν οἰκονόμον, τὸ τοῦ Κυρίου τάλαντον ἀόκνως πολλαπλασιάζων ἐς δεῦρο οὐ διέλιπε κοινωφελῆ παρεχόμενος ἑαυτὸν βίου τε ἐνθέου ὑποδείγματι καὶ πλούτῳ οὐρανίων διδασκαλιῶν, καὶ ψυχωφελέσι συγγράμμασι τοὺς πιστοὺς καταρτίζων, καὶ παντὶ τρόπῳ ὑπὲρ τῆς εὐσεβείας ἀγωνιζόμενος, ὥστε καὶ ἤδη ἐν ἀλλοδαπῇ τυγχάνων πολλὰς καὶ ἀξιαγάστους παρασχεῖν τῇ κοινῇ ταύτῃ μητρὶ ἀφορμὰς τοῦ ἐνυπάρχοντος αὐτῷ θείου ζήλου καὶ τῆς φιλογενοῦς γνώμης. Διὰ ταῦτα κατὰ δίκαιον λόγον ἀνταξίως τιμῶντες τὰς ἀρετὰς αὐτοῦ, κλέος καὶ καύχημα τῷ ὀρθοδόξῳ κλήρῳ περιάπτοντος, ἔγνωμεν νέας ἐκκλησιαστικῆς φιλοτιμίας ἐνδείξεσι τιμῆσαι τὴν αὐτοῦ Σοφολογιότητα, τὸ φιλόκαλον αὐτοῦ ὑποθάλποντες εἰς θεοφιλεστέρων ἔργων διάπραξιν. Καὶ δὴ γράφοντες ἀποφαινόμεθα ἐκκλησιαστικῶς, ὅπως ὁ εἰρημένος σοφολογιώτατος ἐν ἱεροδιδασκάλοις Μέγας Οἰκονόμος τοῦ Πατριαρχικοῦ Οἰκουμενικοῦ Θρόνου, καὶ Γενικὸς Ἱεροκήρυξ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας καὶ πασῶν τῶν ὀρθοδόξων ἐκκλησιῶν, Κύριος Κωνσταντῖνος, ἐργαζόμενος ἀκωλύτως, ὅπου ἂν εὑρεθῇ, τὰ τοῦ θείου κηρύγματος, καὶ τιμώμενος ἐπαξίως, ἔχῃ ἐπὶ τούτοις καὶ τὸ ἤδη καθ' ἡμετέραν φιλοτιμίαν χορηγούμενον προνόμιον τοῦ φέρειν ἐπὶ κεφαλῆς σταυρὸν ἀδαμάντινον ὡς γνώρισμα ἰδιαζούσης πρὸς αὐτὸν ἐκκλησιαστικῆς περιποιήσεως διὰ τοὺς ὑπὲρ τῆς εὐσεβείας ἀκαμάτους ἀγῶνας αὐτοῦ, ἀνθ' ὧν πρὸς τῇ ὀφειλομένῃ κοινῇ εὐγνωμοσύνῃ ἔχῃ ἀπολαμβάνειν σέβας καὶ δεξίωσιν παρὰ πᾶσι τοῖς ἐντυγχάνουσιν αὐτῷ εὐσεβέσιν, ἔτι δὲ καὶ τὴν στάσιν καὶ τὴν ἕδραν τὴν προσήκουσαν τῷ ὑψηλῷ βαθμῷ καὶ ὀφφικίῳ αὐτοῦ ἐν ταῖς ἱερατικαῖς συνελεύσεσι καὶ χοροστασίαις. Ἐπὶ τούτῳ γὰρ ἀπολυθὲν ἀπεστάλη καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν τῆς φιλοτιμίας ἔγγραφον τῇ αὐτοῦ Σοφολογιότητι.

Ἐν ἔτει ͵αωλδ' κατὰ μῆνα Φεβρουάριον.

Πατριάρχης τῆς Κωνσταντινουπόλεως Κωνστάντιος ἀποφαίνεται.



σος φήμη τὴν ἔνδοξον ὑςεροφημίαν τοῦ ἀνδρὸς προλαμβάνουσα περιεσάλπιζε τὸ τοῦ Οἰκονόμου ὄνομα πανταχοῦ τῆς πεφωτισμένης γῆς, πληροῦσα τῶν ὑπὲρ αὐτοῦ ἐπαίνων καὶ βίβλους καὶ ἐφημερίδας καὶ πᾶσαν ἀκοήν· καὶ αὐτοῦ δὲ τοῦ ἐπαινουμένου τὰ ὦτα πολλάκις περιαυλοῦσα, ἀντὶ τύφου καὶ οἰήσεως (ὁποῖα συνήθως φέρει εἰς ἀνθρώπους κουφόνους καὶ ματαιόφρονας) ἐτα-

πείνου αὐτὸν, καὶ ὑπέκαμπτεν ἐνώπιον τοῦ μεγάλου τῆς δόξης Θεοῦ. Ὁποία δὲ καὶ ἡ δόξα, ἣν ἐπεφύλαττεν εἰς αὐτὸν ἔτι ζῶντα ἡ συνεργοῦσα τῆς χάριτος δύναμις! ἔζησε καὶ ἐμακροημέρευσεν ἐπὶ γῆς, καὶ εἶδε τὰς ἀγαθὰς ἐκβάσεις τῆς ἀναστροφῆς αὐτοῦ· εἶδε τὰς εὐλογίας τοῦ Θεοῦ ἐπισκιαζούσας τοὺς πόνους αὐτοῦ καὶ τὰ ἀγωνίσματα· εἶδε περὶ τὴν Πατριαρχικὴν αὐτοῦ τράπεζαν τέκνα καὶ τέκνα τέκνων, ὡς νεόφυτα ἐλαιῶν (Ψαλμ. ρκζ' 4) καὶ στελέχη φοινίκων (Σοφ. Σειρ. Ν. 14) φέροντα κλάδους ἀγαθοεργίας. Ἐπὶ δὲ τούτοις καὶ πρὸ τούτων εἶδε τοὺς ἱεροὺς αὐτοῦ πόθους ἐκπληρουμένους· τὴν πίστιν στερεουμένην, τὴν ἐκκλησίαν λαμπρυνομένην, τὴν ξενοφροσύνην κατὰ μικρὸν ὑποχωροῦσαν καὶ ὥσπερ νέφος παρερχομένην, τὸν ἔρωτα τῶν πατρῴων ἐν ταῖς τῶν ὁμογενῶν ψυχαῖς ἀναπτόμενον, τὴν σοφίαν ὀρθοποδοῦσαν καὶ τὴν Ἑλληνικὴν γλῶσσαν, ὑπὲρ ἧς καὶ ἐκπνέων διενοεῖτο καὶ διελέγετο, τὸ ἀρχαῖον κάλλος ἀναλαμβάνουσαν, κατὰ τὸν ὑπ' αὐτοῦ τυπωθέντα ὑπογραμμόν. «Οὕτως ἐν γενεᾷ αὐτοῦ ἐδοξάσθη, καὶ ἡ δόξα αὐτοῦ οὐκ ἐξαλειφθήσεται» (Σειρ. μδ' 12). Ἑνὸς μόνου πόθου οὐκ ἐπέζησεν ἰδεῖν τὴν ἔκβασιν· οὐκ ἔφθασε, λέγω, ἰδεῖν πλήρη τὴν ἐκτύπωσιν τῶν Ἀμφιλοχίων τοῦ ἱεροῦ Φωτίου, ἣν ἐκ πολλοῦ ἐφιλοτιμεῖτο δωροφορῆσαι τῇ Ἐκκλησίᾳ, ἀλλ' ἔμεινε τὸ ἔργον ἡμιτελές, ὡς συνήθως μένουσιν ἡμιτελεῖς οἱ σκοποὶ ἡμῶν ἐν τῇ ὥρᾳ τοῦ θανάτου. Ἀλλὰ καὶ εἰς τοῦτο οὐκ ἀνακαλύπτετε, ἀδελφοί, νέαν εὐδοκίαν Θεοῦ καὶ χάριν καὶ δόξαν; ἀπέθανεν ἐνηγκαλισμένος τὸν θεῖον Φώτιον ὁ φωτιακώτατος, ἄλλως εἰπεῖν ἐνηγκαλισμένος τὴν Ὀρθοδοξίαν, ἧς ὑπῆρξεν ἐκεῖνος τὸ θεοτύπωτον ἔμβλημα. Ἀλλὰ θαρσεῖτε, ἐκδοθήσεται πάντως εἰς ἡμᾶς ὑπὸ τοῦ Οἰκονόμου τὸ πλῆρες ἐγκοσμίων καὶ οὐρανίων θεωρημάτων ἀθάνατον σύγγραμμα τοῦ θείου Πατρός, μέρος μὲν ἐκ τῆς γῆς δωροφορηθέν, μέρος δὲ ἐκ τῆς αἰωνιότητος. Οὕτως ἐδόξασεν, ἀγαπητοί, ὁ Θεὸς τὸν ἀντιδοξάσαντα αὐτὸν ἱερὸν αὐτοῦ θεράποντα. Ἀλλὰ διατί σμικρολογῶ περὶ τὰ



βραβεῖα τῆς χάριτος, ἅτινα παρηκολούθησαν τὴν Πίστιν καὶ τὴν φερεπονίαν τοῦ Οἰκονόμου, καὶ οὐ λέγω ἑτέρου εἴδους δόξαν πολὺ θειοτέραν, ἥτις ἐπιφυλάττεται εἰς τοὺς μαθητὰς καὶ μιμητὰς τοῦ Θεανθρώπου Σωτῆρος; Πάντως εἴπερ ὡμίλουν ἐκτὸς τοῦ εὐαγοῦς τούτου περιβόλου, διαλεγόμενος πρὸς αἷμα καὶ σάρκα καὶ μὴ πρὸς ἀκροατήριον ὅλως πνευματικόν, ἔμελλον παρασιωπήσειν τὴν δόξαν ἐκείνην, ἀρκούμενος τοῖς ῥηθεῖσιν· ἀλλ' ὑμεῖς ἔχοντες ὦτα εἰς ἀκοὴν πίστεως, δύνασθε μόνοι κατανοῆσαι, ὅτι ὁ ἐνδοξότερος στέφανος τῶν μαθητῶν τοῦ Χριστοῦ ἐστὶν ὁ στέφανος ὁ ἐξ ἀκανθῶν. Ἐχάρησαν οἱ μαθηταὶ τοῦ Κυρίου χαρὰν ἀνεκλάλητον, ὅτε τὸ πονηρὸν τῶν Ἰουδαίων συνέδριον προσκαλεσάμενον αὐτοὺς καὶ μαστιγώσαντες παρήγγειλαν μὴ λαλεῖν ἐπὶ τῷ ὀνόματι Ἰησοῦ. «Οἱ μὲν οὖν ἐπορεύοντο χαίροντες ἀπὸ προσώπου τοῦ συνεδρίου, ὅτι ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ κατηξιώθησαν ἀτιμασθῆναι» (Πρξ. Ἀπ. έ 41). Ἀλλὰ καὶ αὐτὸς ὁ Οὐράνιος Σωτὴρ καὶ διδάσκαλος οὐχὶ διὰ τοῦ μακαρισμοῦ τῶν ὀνειδιζομένων ἐπὶ τῷ ὀνόματι αὐτοῦ ἐπεσφράγισε τοὺς ἐννέα εὐαγγελικοὺς αὐτοῦ μακαρισμούς; «Μακάριοι ἐστέ, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι ἕνεκεν ἐμοῦ» (Ματθ. έ 11). Τί δὲ ὁ τοῦ Χριστοῦ μαθητής, ὁ μακάριος Οἰκονόμος; οὐχὶ καὶ αὐτὸς ὑπεδέξατο χαίρων τὰ πεπυρωμένα βέλη τῶν ὕβρεων καὶ λοιδοριῶν, τῆς διαβολῆς καὶ συκοφαντίας, ὅσα κατὰ καιροὺς κοσκινηδὸν ἐπαφῆκε κατὰ τῆς στεφανηφόρου αὐτοῦ κεφαλῆς τὸ μισόκαλον πνεῦμα καὶ ὁ τῶν καλῶν ἀνέραστος φθόνος, διαπριόμενος ἐπὶ τῇ κατὰ πάντα εὐδοκιμήσει τοῦ θαυμαστοῦ διδασκάλου τῆς Πίστεως; εἶπον καὶ κατ' αὐτοῦ οἱ τὰ σκάνδαλα καὶ τὰς διχοστασίας θηρεύοντες «μὴ φεισώμεθα τῆς ὁσιότητος αὐτοῦ, μηδὲ ἐντραπῶμεν πολιᾶς πρεσβύτου πολυχρονίου» (Σοφ. Σολ. Β' 10)· καὶ ἔσχεν ἄρα καὶ οὗτος, ὡς ὁ Δαβὶδ καὶ ὡς ὁ Παῦλος, καὶ Σεμεὶ καταρώμενον (Βασιλ. ις' 10) καὶ σκόλοπα

μοχθηρὸν, καὶ ἄγγελον Σατὰν κολαφίζοντα, καὶ ταῖς ὕβρεσι πλύνοντα, καὶ διαῤῥηγνύμενον ταῖς κατ' αὐτοῦ φωνασκίαις· ἀλλ' ὅμως ἐν τῷ παρενοχλεῖσθαι οὔτε ἀντελοιδόρει, οὔτε ἠπείλει, ἀλλ' ἠνείχετο καὶ ἡδέως ἔφερε, τοῦτο δόξαν ἡγούμενος, τοῦτο ςέφανον καυχήσεως τὸ συνατιμάζεσθαι μετὰ τῶν Πατέρων καὶ ὑπὲρ τοῦ ὀνόματος τοῦ Ἰησοῦ. Καὶ ἤδη πορεύεται καὶ αὐτὸς χαίρων ἀπὸ προσώπου τοῦ συνεδρίου τῶν πονηρευομένων, ἐξέρχεται δὲ καὶ ἔξω τῆς παρεμβολῆς τῶν υἱῶν Ἰσραὴλ, φέρων ἐπὶ κεφαλῆς αὐτοῦ τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ, ὡς φωτοειδῶν ἀκτίνων διάδημα. Ἀλλ' ἡ ὑπερτάτη δόξα τῶν φίλων τοῦ Χριστοῦ ὑπάρχει αὐτὸς ὁ Χριςὸς, ὀπτανόμενος αὐτοῖς τρόπῳ ἀῤῥήτῳ· « ὁ ἔχων τὰς ἐντολάς μου καὶ τηρῶν αὐτὰς ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με, ὁ δὲ ἀγαπῶν με ἀγαπηθήσεται ὑπὸ τοῦ πατρός μου, καὶ ἐγὼ ἀγαπήσω αὐτὸν καὶ ἐμφανίσω αὐτῷ ἐμαυτὸν » (Ἰων. ιδ' 21). Ἆρά γε, ἀδελφοί, ἐν τῇ ὥρᾳ καὶ τῇ κλίνῃ τοῦ θανάτου, ἐν τῇ μεταλήψει τῶν ἀχράντων καὶ φρικτῶν τοῦ Χριστοῦ μυστηρίων, ὁπότε τὸ θεοῤῥῆμον στόμα τοῦ Θεοκήρυκος διὰ παντὸς ἀπεκλείετο, καὶ τῶν ὀμμάτων οἱ λύχνοι ἐσβέννυντο, οὐκ ἐνεφανίσθη καὶ εἰς τοῦτον τὸν πιστὸν αὐτοῦ λάτριν ὁ οὐράνιος τῶν πιστῶν ἀγωνοθέτης, καὶ οὐκ εἶπε πρὸς αὐτὸν τὰ μακάρια ῥήματα· « εὖ δοῦλε ἀγαθὲ καὶ πιστὲ, ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ πολλῶν σε καταςήσω, εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου;» (Ματθ. κέ 21). Ὢ! τοῦτο δίδωσιν ἐλπίζειν ἡ γαλήνιος ἀταραξία μεθ' ἧς ἀπεδέξατο τὴν τοῦ σκήνους ἀνάλυσιν, καὶ μειδίαμά τι ζωῆς ἐναπολειφθὲν ἐπὶ τῶν νενεκρωμένων χειλέων. Καὶ δὴ ἐπειπὼν ὡς ἄλλος Συμεὼν, « Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου », παραδίδωσι τὸ πνεῦμα εἰς τὸν Θεὸν τῶν πνευμάτων καὶ πάσης σαρκὸς, μακαριστὸς μὲν τῆς ζωῆς, μακαριστότερος δὲ τῆς τελευτῆς· καὶ τὸ μὲν σῶμα αὐτοῦ κηδεύεται ἐν δόξῃ μετὰ βασιλικωτάτης φιλοτιμίας ἐν τῇ ἐπιγείῳ μονῇ τῶν Ἀσωμάτων· καὶ γίνεται ἄρα ἡ νεκρώσιμος αὐτοῦ ἐκφορὰ ἔκρηξις τοῦ θείου πυρὸς τῆς Πίστεως παρὰ τῷ λαῷ, καὶ ὁ θάνατος αὐτοῦ ὑπόθεσις οὐρανίου ζωῆς· ἡ δὲ πολύδακρυς ἐκείνη πανήγυρις ἡ αὐτὴ καὶ ἡ λαμπροτάτη πεντηκονταετηρὶς τῆς διδασκαλίας αὐτοῦ, καὶ διδασκαλία ὑψηλὴ καὶ πρὸς τοὺς κλαίοντας ὁμογενεῖς καὶ πρὸς τοὺς ἐκπεπληγμένους ξένους. Καὶ νεκρὸς ἔτι ἐῤῥητόρευε κηρύττων τὴν εὐσέβειαν ὁ τῆς εὐσεβείας διδάσκαλος· ἡ δὲ ψυχὴ αὐτοῦ μεταβαίνει ἀπὸ δόξης εἰς δόξαν, ἀπὸ ἐκκλησίας εἰς ἐκκλησίαν, ἀπὸ τῆς ςρατευομένης εἰς τὴν θριαμβεύουσαν, ἐν τῇ χώρᾳ τῶν ζώντων, ἐν τῇ ἐπουρανίῳ μονῇ τῶν Ἀσωμάτων. Τοιαύτη ὑπῆρξεν, ἀδελφοὶ, ἡ ἔκβασις τῆς ἀναστροφῆς τοῦ δύσαντος τούτου φωστῆρος. Ἐκ Θεοῦ ἀποσταλεὶς, εἰς Θεὸν ἐπανέςρεψεν. « Ἀπ' ἄκρου τοῦ Οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ, καὶ τὸ κατάντημα αὐτοῦ ἕως ἄκρου τοῦ Οὐρανοῦ » (Ψαλμ. ιή 7).



ιά Ἀλλ', ὦ μακαρία τοῦ Οἰκονόμου ψυχὴ καὶ μορφὴ καὶ φωνὴ, σὺ μὲν ἀπαίρεις διὰ παντὸς ἀφ' ἡμῶν, καὶ συναυλίζῃ μετὰ πνευμάτων δικαίων τετελειωμένων· ἡμῶν δὲ τὸν πόθον τίς χρόνος, ἢ τίς ποταμὸς δακρύων ἀποσβέσαι δυνήσεται; πενθεῖ σου τὴν στέρησιν ἡ μήτηρ σου Ἐκκλησία, τὸ Γένος πενθεῖ, πενθοῦσιν οἱ οἰκεῖοι τῆς πίστεως, οἱ μαθηταί σου, οἱ φίλοι, οἱ συγγενεῖς, ποθεῖ σου τὸ φῶς τὸ τῆς γνώσεως ἡ εὐεργετηθεῖσα ὑπὸ σοῦ ὁμογενὴς Νεολαία, ποθοῦσι καὶ πόλεις καὶ δῆμοι, παρ' οἷς καὶ πολιοκρόταφος ἤδη καὶ σὺν γήρᾳ βαρὺς, ἀλλὰ καὶ οὕτως, ὡς ὁ τῆς Προβατικῆς κολυμβήθρας ἄγγελος κατὰ καιρὸν ἐπεφοίτας, ἀναταράττων τὸ ζωῤῥυτον καὶ φερέσβιον ὕδωρ τῆς Πίςεως, καὶ ἰώμενος τὴν ἠθικὴν καὶ διανοητικὴν καχεξίαν τῶν παραλύτων μελῶν τοῦ τῆς Ἐκκλησίας σώματος. Πολλὰ ἐμόγησας καὶ ἐμόχθησας καὶ ἔγραψας καὶ ἐλάλησας ὑπὲρ τῆς ἐν Χριστῷ ἀδελφότητος καὶ ὑπὲρ τῆς δόξης τοῦ Θεοῦ, μεγαλοκήρυξ Θεόσοφε! οὐδὲν σοι δυνάμεθα προσενεγκεῖν τῶν πόνων ἐπάξιον· μεμνήμεθα τῶν ὑπὲρ τοῦ φωτισμοῦ τοῦ Ἔθνους πολυχρονίων κα-

μάτων σου· τὰς πολυτίμους συγγραφάς, ἃς πολλὰς καὶ καλὰς ὑπὲρ τῆς μητρὸς Ἐκκλησίας καὶ τῶν πατρίων νομίμων ἐξεπόνησας, εὐγνωμόνως ἐγκολπούμενοι, τροφὴν ἔχομεν ἐπιούσιον· ἀλλ᾽ ἀπόδεξαι πράως ἐκ τῆς γῆς τῶν πραέων λιτὰ τῆς παγγενοῦς μαθητείας σου δίδακτρα, τὰς εὐχὰς τῆς ἁγίας Μητρὸς καὶ τοὺς ὀλοφυρμοὺς τῶν ἀδελφῶν, καὶ τὴν ἐξόδιον ταύτην μονῳδίαν, συγχωρήσας τοῦ λόγου καὶ τοῦ λαλήσαντος τὴν ἀσθένειαν.

ιβ΄. Χριστιανοὶ ἀδελφοί, περαίνων τὸν λόγον, σύνοιδα μηδὲν εἰπὼν εἰς ἐγκώμιον τοῦ ἀειμνήστου διδασκάλου· ἀλλ᾽ οὐδ᾽ ἡ πρόθεσις τοῦ λόγου ὑπῆρξεν αὕτη· ἀπέβλεπε δὲ μᾶλλον εἰς ὠφέλειαν ὑμῶν καὶ καρποφορίαν πνευματικήν. Ἀνεθεωρήσατε τὴν ὁσίαν καὶ χριστιανικὴν ἀναστροφὴν ἑνὸς τῶν γνησίων τοῦ Θεοῦ θεραπόντων· ἐθαυμάσατε δὲ καὶ τὴν ἔνδοξον καὶ μακαριςὴν τῆς τοιαύτης ἀναστροφῆς ἔκβασιν. «Τὴν ὑπομονὴν Ἰὼβ ἠκούσατε καὶ τὸ τέλος Κυρίου εἴδετε» (Ἰάκ. έ 11). Τί λοιπὸν ἀπόκειται εἰς ὑμᾶς; ἐπιθυμεῖτε τοιαύτην καὶ τῆς ὑμετέρας ἀναστροφῆς τὴν ἔκβασιν; μιμεῖσθε τὴν Πίςιν τοῦ μακαρίου τούτου ἡγουμένου ἡμῶν, ὅστις ἐλάλησεν ἡμῖν τὸν λόγον τοῦ Θεοῦ. Ἀρχιερεῖς, ἱερεῖς, οἱ νέοι Λευῖται τῆς χάριτος, καθηγηταὶ καὶ διδάσκαλοι, ἱερόπαιδες καὶ ἱεροσπουδαςαί, ἐὰν ὀρέγησθε τοῦ στεφάνου τῆς δόξης, ὃν περικείμενος τὴν ψυχὴν ἀπῆλθεν ἀφ᾽ ἡμῶν ὁ διδάσκαλος, μιμεῖσθε αὐτοῦ τὴν Πίστιν. Πατέρες καὶ μητέρες καὶ ἀδελφοὶ ἐν Χριςῷ καὶ πάντες οἱ παρευρεθέντες εἰς τὸ ἱερὸν τοῦ Οἰκονόμου μνημόσυνον, ἐπίγνωτε τὴν πανσθενουργὸν τῆς Πίστεως δύναμιν· μιμεῖσθε τὴν Πίςιν τῶν ἡγουμένων ὑμῶν. Ναί, μόνη ἡ Πίςις, ἡ ὀρθὴ καὶ ἀμώμητος καὶ ἐγκάρδιος Πίστις, ἐπαγγέλλεται καὶ ἐπὶ γῆς μεγάλα τὰ κατορθώματα, καὶ ἐν οὐρανοῖς πλουσίας τὰς ἀμοιβάς. «Μὴ ἐπαισχυνθῶμεν τὸ μαρτύριον τοῦ Κυρίου ἡμῶν» (Β Τιμόθ. ά 8), μηδὲ τὸ πολυπαθὲς τῆς μητρὸς ἡμῶν Ἐκκλησίας, ὅπερ ἐστὶ τὸ γνώρισμα ἀλλὰ καὶ ἡ δόξα τῆς νύμφης τοῦ ἐσταυρωμένου· μόνη αὕτη δύναται καυχήσασθαι ἥδιστα ἐν ταῖς

SISMANOGLIO MEGARO



ἀσθενείαις αὐτῆς· μόνη αὕτη δύναται λέγειν θαῤῥούντως πρὸς πάντα υἱὸν αὐτῆς σκανδαλιζόμενον καὶ ὀλιγοπιστοῦντα, τὰ ῥήματα τοῦ Νυμφίου αὐτῆς, ἅτινα ἠκούσατε σήμερον ἐν εὐαγγελίοις, εἰπόντος πρὸς τὸν Θωμᾶν «φέρε τὸν δάκτυλόν σου ὧδε καὶ ἴδε τὰς χεῖράς μου· καὶ φέρε τὴν χεῖρά σου καὶ βάλε εἰς τὴν πλευράν μου· καὶ μὴ γίνου ἄπιστος ἀλλὰ πιστός» (Ἰωάνν. κ΄ 27)· ἴδε τὰς τῶν τραυμάτων μου οὐλὰς καὶ τὰ ςίγματα τοῦ Κυρίου Ἰησοῦ, ἅπερ ἐν τῷ σώματί μου βαστάζω, καὶ γνῶθι ὅτι ἄμωμος ἡ ὁδός μου, διότι ἐστὶν ἡ στενὴ καὶ τεθλιμμένη ὁδός, ἣν διεχάραξεν ἐπὶ τῆς γῆς ὁ ἐνανθρωπήσας Θεός, βαδίσας αὐτὴν καὶ μὴ ἔχων ποῦ τὴν κεφαλὴν κλῖναι· ψηλάφησον τοὺς τύπους καὶ τῶν ἥλων καὶ τῶν ἀκανθῶν καὶ ἐπὶ τῶν μελῶν καὶ ἐπὶ τῆς κεφαλῆς μου, καὶ γνῶθι ὅτι ἐγὼ εἰμί· «καὶ μὴ γίνου ἄπιστος ἀλλὰ πιστός»· «ἔστι δέ, ἀγαπητοί, πίστις ζῶσα καὶ ἀληθὴς ἡ δι᾽ ἀγάπης ἐνεργουμένη» (πρὸς Γαλάτ. έ. 6.). Ἀνανήψωμέν ποτε, ἀδελφοί, μιμηθῶμεν τὴν Πίςιν τῶν Πατέρων ἡμῶν, καὶ ἀγαπήσωμεν ἀλλήλους. «Ὁ μέν τις ἡμῶν, κατὰ τὴν Ἐκκλησιαςικὴν ὑποθήκην, σοφίαν κοσμείτω δι᾽ ἔργων ἀγαθῶν· ὁ δὲ λειτουργίαν λαμπρότητος ἐπιτελείτω· κοινωνείτω δὲ τοῦ λόγου πιστὸς τῷ ἀμυήτῳ καὶ σκορπιζέτω τὸν πλοῦτον πένησιν ἄλλος»· ἵνα καὶ ἡμεῖς ὡς πιστοὶ καὶ φρόνιμοι οἰκονόμοι ποικίλης χάριτος Θεοῦ, δεσποτικῆς χαρᾶς ἀξιωθῶμεν. Καὶ δεῦτε συνεπάρατε μετ᾽ ἐμοῦ τὰς χεῖρας πρὸς τὸν Κύριον τοῦ οἴκου, τὸν οὐράνιον παροχέα τῶν χαρισμάτων τοῦ σώματος καὶ τοῦ πνεύματος, καὶ ἱκετεύσωμεν αὐτὸν ὁμοθυμαδὸν ὑπὲρ τῆς αἰωνίου ἀναπαύσεως τῆς ψυχῆς τοῦ κεκοιμημένου.

Φιλάνθρωπε καὶ πολυέλεε Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, γένους θνητοῦ τε καὶ ἀθανάτου δημιουργέ, ὁ εἰς Ἅδου καταβάς, καὶ μοχλοὺς σιδηροῦς συντρίψας, καὶ τῇ τριημέρῳ σου ἀναςάσει ζωὴν ἡμῖν χαρισάμενος, ἐπάκουσον τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ ἀνάπαυσον τὴν ψυχὴν τοῦ προκεκοιμημέ-

νου δούλου σου Κωνσταντίνου ἱερέως, καὶ κατάταξον αὐτὸν ἐν τῇ ἀγήρῳ μακαριότητι, ὅπου οἱ δίκαιοι ἀναπαύονται, σὲ τὸ ἀπρόσιτον καὶ αἴδιον κατοπτεύοντες φῶς. Θεὲ τῶν Πατέρων! ὁ τῆς Πίςεως ἀρχηγὸς καὶ τελειωτὴς καὶ τῆς Ἐκκλησίας δομήτωρ, σὺ Κύριε θανατοῖς καὶ ζωογονεῖς, κατάγεις εἰς Ἅδου καὶ ἀνάγεις. Προσελάβου ἀφ' ἡμῶν τὸν καθηγητὴν καὶ διδάσκαλον, καὶ ἀφεῖλες ἡμᾶς τὸν στέφανον τῆς καυχήσεως. Προσκυνοῦμέν σου τὸ ἅγιον θέλημα· ἀλλὰ, Δέσποτα, μὴ ἐάσῃς ἡμᾶς ὀρφανούς· ἀνάστησον δὲ ἀντ' αὐτοῦ ἕτερον ἐκ τῶν υἱῶν Ἰσραὴλ τοῦ βαστάσαι ἐναντίον τῶν ἐθνῶν τὸ θεῖόν σου ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, καὶ πρόσθες ἡμῖν Πίστιν. Τὴν Ἁγίαν σου Ἐκκλησίαν καλῶς διαφύλαξον, καὶ πάντας ἡμᾶς συνάγαγε εἰς τὴν βασιλείαν σου τὴν οὐράνιον. Ἀμήν.

## ΕΠΙΓΡΑΜΜΑΤΑ

ΕΙΣ ΤΟΝ

ΑΟΙΔΙΜΟΝ ΔΙΔΑΣΚΑΛΟΝ ΚΩΝΣΤΑΝΤΙΝΟΝ ΟΙΚΟΝΟΜΟΝ.

Θειοτέρης σοφίης ἡγήτορα ἀνδρομέης τε,
　Ῥήτορα ἡδυεπῆ, τέκτον' ἁβρῶν μελέων,
Εὐσεβίης μέγ' ἔρεισμα, ὑπείροχον Ἑλλάδος εὖχος,
　Κωνσταντῖνον ἄπνουν τύμβος ἔχ' Οἰκονόμον.
Αἲ τὰν Ἑλλάδα! οἷον ἐπ' οἰχομένῳ πατρὶ τῷδε
　Δάκρυσι μυδαλέα λυγρὸν ἐπιστενάχει!



### ΕΤΕΡΟΝ.

Τὸν κήρυκα Θεοῖο καὶ ὄβριμον ἐν προμάχοισιν
　Εὐσεβίης Πατέρων καὶ σοφίης προγόνων,
Ἔκπαγλον Οἰκονόμον, πολυήρατον Ἑλλάδος εὖχος,
　Τῇδε κέκευθε κλυτὸν Κέκροπος ἄστυ νέκυν.
Καὶ ῥ' ὁ μέγας πέπτωκε, μεμυκὼς χείλεα σιγῇ,
　Καὶ πίστις στοναχεῖ καί τε πατρὶς πότνια.
Τοὶ δὲ γεγήθασιν, ὅσοι ἀνάρσια μηχανόωνται,
　Ἐλπόμενοι ῥήξειν ἡμετέρην γενέθλην.
Ἔγρεο, Θεῖε πάτερ, λαοὺς δέ τε σῶζ' ἐπὶ πέτρης
　Χριστοῦ, ἀντιβίων δ' ὕβριν ἀποσκέδασον.

### ΕΤΕΡΟΝ.

Εὕδεις σοῖς κροτάφοισιν ἐγέρσιμον ὕπνον ὀπάσας,
　Πλεῖστα καμὼν βιότῳ, κύδιμε Οἰκονόμε.
Ὦ κλεινῶν καμάτων, τοὺς πίστιος εἵνεκ' ἀνέτλης,
　Καὶ χερὶ καὶ γλώσσῃ καὶ φρεσὶ μαρνάμενος!
Ἀλλ' ἡ μὲν δὴ ζῇ καὶ στήσεται αἰὲν ἄσειστος,
　Σεῦ δ' ἤμυσε γέῃ, κρᾶτα βαρυνόμενον.
Καὶ δὲ λόγοι μετόπισθε λαλήσουσ', οὓς κάμες αὐτός.
　Αἴ, σὺ δ' ἔσῃ σιγῶν, ὦ πολυφωνότατε!
Μὴ σύ γε, πρέσβυ, Θεῷ δὲ σὺν οὐρανίωσι παρεστὼς,
　Ἀθανάτῳ γλώσσῃ λίσσεο ἀμφὶ πάτρης.

### ΕΤΕΡΟΝ.

Ὑψοῦ, αἰετὸς ὥς, Ἐκκλησίῃ ὄρνυτο μέσσῃ
　Οἰκονόμος κλάζων θέσφατον ἀγγελίην·
Λέργματι δ' ὀξέϊ, εἴ που ἐσαθρήσειε δράκοντας,
　Ἤρει ἐφιπτάμενος, ῥύετο δ' ἐκ δακέων.
Νῦν δ' ἀλλ', ὠκέαν ἀμπετάσας πτέρυγ' ἀμφοτέρωθεν,
　Ὄρνις ὁ θεῖος ἄφαρ ἔπτατ' Ὄλυμπον ἄνω.

### ΕΤΕΡΟΝ.

Οἰκονόμος σιγᾷ· κέκμηκε δ' ἄρ' ἀκαμάτη χείρ.
　Ἐσβέσθη δ' ὁ λύχνος. Χαίρετε, νυκτιλόχοι!

SISMANOGLIO MEGARO

## ΕΤΕΡΟΝ.

Τεύχεα Οἰκονόμου σοφίης πόλλ᾽ ἦλθ᾽ ἐπὶ γαίης.
Νῦν δ᾽ αὐτός γ᾽ ἐκδοὺς, οὐρανῷ ἐξεδόθη.

---

## ΕΤΕΡΟΝ.

Οἰκονόμου φθιμένοιο, τίς Οἰκονόμου ἐπὶ τύμβῳ
Εἴρειν τολμήσει γράμμ᾽ ἐπιτυμβίδιον;
Οὐ χατέει κεῖνος γ᾽ ἐπιγράμματος· ἀντὶ δὲ πάντων
Τοὔνομα Οἰκονόμου θὲς ψιλόν· εὖ γὰρ ἔχει.

---

## ΕΤΕΡΟΝ.

Κωνσταντίνου ἐκείνου ὁρᾷς τάφον Οἰκονόμοιο!

---

## ΕΤΕΡΟΝ.

Ὤ μοι ἐγώ! τί πάθω; τί μοι ἄλγεος ἔσεται ἄκος,
Χήτει Οἰκονόμου λυπρὸν ἄγοντι βίον;
Μνήσομαι, οὐδὲ λάθωμαι ἀποιχομένοιο γέροντος,
Πατρὸς μειλιχίου, ἡγεμόνος βιότου.
Ὦ πάτερ, ἀλλὰ δέχευ μ᾽ ἀκορέστως τηλόθεν ἐκ γῆς
Ἐκ βλεφάρων δνοφερῶν θερμὸν ἰέντα δάκρυ.
Ἆσθμα τόδε στέρνων σέο παιδὸς Ταντολίδαο,
Δὶς τυφλωθέντος σεῦ ἕνεκ᾽ ὀρφανίης.

---

## ΕΤΕΡΟΝ ΛΕΑΝΔΡΟΥ ΑΡΒΑΝΙΤΑΚΗ.

Τὸν σοφίῃ προὔχοντα, καὶ εὐσεβίῃ περίβωτον,
Ἐν βουλῇ πινυτὸν, φέρτατον εὐεπίῃ,
Πολλὰ μὲν Οἰκονόμον πατρὶς Ἑλλὰς κλαῦσε θανόντα
Τῇ περ ἔην ἄμφω, πλοῦτος ἰδὲ στέφανος·
Κλαῦσε δ᾽ ὁμῶς στενάχοντα μόρῳ ἐπὶ δακρυόεντι
Εὐσεβέων πάντων φῦλα πολυσπερέων.
Οὐδὲ γὰρ Ἑλλήνων παισὶν μούνοις μέγ᾽ ὄνειαρ
Πᾶσι δὲ εὐσεβέσιν, κεῖνος ἀνὴρ ἔπλετο.

---